Poems in Ancient Greek
In Various Meters
On Various Topics
William S. Annis
Aoidoi.org
2004

June 28, on Cheney's advice to Senator Leahy.

ἀρχῇ μαινόμενος βουλῆς ἄρχων κεκέλευκεν·
``βίνει σαυτὸν'' νῦν, μηκέτι ``γνῶθι,'' λέγει.

August 4, ᾔτησε ὁ Λευκογδοάδης τὰ ἐλεγεῖα ἐν τῇ τοῦ Textkit ἀγορᾷ. εἶπον·

ἡμᾶς βουλόμενος σπεύδειν ποίημ᾽ ἐξαιτεῖς·
μὴ Μούσαις ἐνοχλεῖ μὴ Νέμεσις δικάσῃ.

August 8, a Textkit member, frustrated by Latin verse composistion, says somewhat rude things about the Muses.

Μουσάων ἀρχώμεθ᾽ Ὀλύμπια δώματ᾽ ἐχουσῶν,
αἵ ποθ᾽ Ὁμήρῳ ἔδον μῦθον ἄεισαι ἀεί,
Ἡσίοδόν τ᾽ ἐνέπνευσαν· ὑβριστοτέρην στίξ᾽ ἀοιδῆς
συγγνώτε Στεφάνῳ, τέκνα Διὸς μεγάλου.
μὴ ποιεῖν ἐλεγεῖά τέ μοι δότε ῥῆμά τε φαῦλον·
κοῦραι Μνημοσύνης, τοιάδ᾽ ἀλάλκετέ μοι.

August 21-22, on a chipmunk. Choliambic tetrameter.

ὦ σκίουρε χθόνιε, κενόφρον, ὃς λίην ταράσσεις με
καὶ ῥοδὸν καὶ θαλερὰ δένδρα· πανταχοῖ πηλὸν βάλλων
ῥίζαν ἐνδάκνεις ἀκόσμως ὥστε πάντα τέθνηκεν.
ζητέοντα κίρκον ἔλαθες, ὄσσε δ᾽ οὔτι λήσεις μου·
ὅσσα σήμερον βιβρώσκεις, τόσσα πιανεῖς κῆπον.

August 28, Whiteoctave said, about poetry, "the more rules the better."

Κοῦραι Μνημοσύνης ἐπέων ἀγαθῶν τιθέασιν
οὐδὲ νόμους ὀλίγους οὐδὲ μάτην πολέας.

November 3, in the style of Mesomedes, a satiric hymn. The opening lines are dactylic, the rest occasional paroemiacs with apokrota.

Πλοῦτον ἄναχθ΄ ὑμνεῖν ἄρχω·
εὐφημούντων ἄνθρωποι.
κέκλυτε δὴ νῦν μύθων μύστων
ὥς γε μάθηθ΄ ὑμεῖς ναμερτές.

ἦν Ζεύς ποτ΄ ἄναξ ἐπὶ τοῖς θεοῖς,
βασιλεύς τε πατήρ τε σοφῶς μέδων·
νῦν δ΄ ὡς ἔβαλ΄ Ἅιδι γηγενῆ,
ἔλαβ΄ ἄλλος ἕδρην Κρονίδου βίῃ.
Πλοῦτος γὰρ ἀνάσσει πανταχοῦ,
καὶ κόσμος ὄρωρε ποταίνιος.
ἦ κτῆματα περνάμεν΄ οἱ θεοί·
Ἄρης τ΄ ὀλοὴν νόσον ἐμπολᾷ,
Ἀσκλήπιος οὐδ΄ ἀπόμισθος
ἥρωα μόνον θεραπεύει·
πορνεῖον ἔχει Κύπρις εὐκλεές
καὶ πόρνος ἔφυν Γανυμήδης.
ἀπεκηρύχθη τε Θέμις ταχύ,
Δηώ τε τρέφει πενέας κόνι.
Παλλάς τε διδάσκει πωλέειν·
τὸ μάθημα μάταιον ὃ χρυσὸν
οὐ μισθοδοτεῖ συχνὰ καὶ ῥυδόν.
ἦ νῦν δὲ δύνασθε Μαμωνᾷ
δουλεύειν καὶ δὴ Γολγαθᾷ.